𝔊 Ιωακιμ τὸν βασιλέα τῆς Ιουδαίας καὶ μέρος τι τῶν ἱερῶν σκευῶν
τοῦ κυρίου, καὶ ἀπήνεγκεν αὐτὰ εἰς Βαβυλῶνα καὶ ἀπηρείσατο
αὐτὰ ἐν τῷ εἰδωλίῳ αὐτοῦ. [3]καὶ εἶπεν ὁ βασιλεὺς Αβιεσδρι τῷ 3
ἑαυτοῦ ἀρχιευνούχῳ ἀγαγεῖν αὐτῷ ἐκ τῶν υἱῶν τῶν μεγιστάνων
τοῦ Ισραηλ καὶ ἐκ τοῦ βασιλικοῦ γένους καὶ ἐκ τῶν ἐπιλέκτων
[4]νεανίσκους ἀμώμους καὶ εὐειδεῖς καὶ ἐπιστήμονας ἐν πάσῃ σοφίᾳ 4
καὶ γραμματικοὺς καὶ συνετοὺς καὶ σοφοὺς καὶ ἰσχύοντας ὥστε
εἶναι ἐν τῷ οἴκῳ τοῦ βασιλέως καὶ διδάξαι αὐτοὺς γράμματα καὶ
διάλεκτον Χαλδαϊκὴν [5]καὶ δίδοσθαι αὐτοῖς ἔκθεσιν ἐκ τοῦ οἴκου 5
τοῦ βασιλέως καθ' ἑκάστην ἡμέραν καὶ ἀπὸ τῆς βασιλικῆς τραπέζης
καὶ ἀπὸ τοῦ οἴνου, οὗ πίνει ὁ βασιλεύς, καὶ ἐκπαιδεῦσαι αὐτοὺς
ἔτη τρία καὶ ἐκ τούτων στῆσαι ἔμπροσθεν τοῦ βασιλέως. [6]καὶ 6
ἦσαν ἐκ τοῦ γένους τῶν υἱῶν Ισραηλ τῶν ἀπὸ τῆς Ιουδαίας Δα-
νιηλ, Ανανιας, Μισαηλ, Αζαριας. [7]καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευ- 7
νοῦχος ὀνόματα, τῷ μὲν Δανιηλ Βαλτασαρ, τῷ δὲ Ανανια Σεδραχ
καὶ τῷ Μισαηλ Μισαχ καὶ τῷ Αζαρια Αβδεναγω. [8]καὶ ἐνεθυμήθη 8

1 2 βαβυλωνα] + εις γην σεναaρ 88 (non Sy): ex θ'; deinde add. ※οικον(pr. εις 88) του θεου αυτου και τα σκευη 88 Sy (88 om. asteriscum, sed hab. metobelum: talia posthac non notabo, si res certa est)

---

θ' Ιουδα καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου τοῦ θεοῦ, καὶ ἤνεγκεν
αὐτὰ εἰς γῆν Σενναaρ οἶκον τοῦ θεοῦ αὐτοῦ· καὶ τὰ σκεύη εἰσ-
ήνεγκεν εἰς τὸν οἶκον θησαυροῦ τοῦ θεοῦ αὐτοῦ. [3]καὶ εἶπεν ὁ βα- 3
σιλεὺς τῷ Ασφανεζ τῷ ἀρχιευνούχῳ αὐτοῦ εἰσαγαγεῖν ἀπὸ τῶν
υἱῶν τῆς αἰχμαλωσίας Ισραηλ καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασι-
λείας καὶ ἀπὸ τῶν φορθομμιν [4]νεανίσκους οἷς οὐκ ἔστιν ἐν αὐτοῖς 4
μῶμος καὶ καλοὺς τῇ ὄψει καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ καὶ γι-
γνώσκοντας γνῶσιν καὶ διανοουμένους φρόνησιν καὶ οἷς ἐστιν ἰ-
σχὺς ἐν αὐτοῖς ἑστάναι ἐν τῷ οἴκῳ τοῦ βασιλέως, καὶ διδάξαι αὐ-
τοὺς γράμματα καὶ γλῶσσαν Χαλδαίων. [5]καὶ διέταξεν αὐτοῖς ὁ 5
βασιλεὺς τὸ τῆς ἡμέρας καθ' ἡμέραν ἀπὸ τῆς τραπέζης τοῦ βασι-
λέως καὶ ἀπὸ τοῦ οἴνου τοῦ πότου αὐτοῦ καὶ θρέψαι αὐτοὺς ἔτη
τρία καὶ μετὰ ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως. [6]καὶ ἐγένετο 6
ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ιουδα Δανιηλ καὶ Ανανιας καὶ Μισαηλ καὶ
Αζαριας. [7]καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ Δανιηλ 7
Βαλτασαρ καὶ τῷ Ανανια Σεδραχ καὶ τῷ Μισαηλ Μισαχ καὶ τῷ
Αζαρια Αβδεναγω. [8]καὶ ἔθετο Δανιηλ ἐπὶ τὴν καρδίαν αὐτοῦ ὡς 8

2 οικον 1⁰] -κου B | θησαυρου > AQV† | του ult. > B* || 3 τω 1⁰ > B | πορθομμ(ε)ιν AL || 4 εν 1⁰ > B*pau. | εν τω οικω > A | του] pr. ενωπιον ABc || 6 εν > A || 7 βαλτασαρ] ρ pro λ Ast: item A† aliis locis, non ubique | μ(ε)ισαχ] -σακ A: item ubique